# 20 FEBRUARIE

# PARACLISUL SF.CUVIOS VISARION DE LA EGIPT

PARACLISIER-GR


Ὁ ὅσιος
ΒΗC-
CΑΡΙΩ-
Ν
ὁ Αἰγύπτιος
ὡς ὁ ναύ-
της ἐν τῇ
θαλάσσῃ,
οὕτω καὶ
ὁ μοναχὸς
ἐν τῇ ἐρή-
μῳ.

# ΦΕΒΡΟΥΑΡΙΟΣ Κ΄
# ΒΗΣΣΑΡΙΩΝ ΟΣΙΟΣ ΑΙΓΥΠΤΙΟΣ

## ΠΑΡΑΚΛΗΣΙΣ

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

### *Ψαλμός ρμβ' (142).*

Καὶ εὐθὺς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*

Στίχ. γ'. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς τῆς Τριάδος ἱερώτατος μύστης, καὶ ἀρετῶν σκεῦος σεπτὸν καὶ δοχεῖον, καὶ ὡς θαυμάτων πέλαγος ἀκένωτον, Βησσαρίων ἔνδοξε, πάσης θλίψεως ῥῦσαι, νόσων καὶ κακώσεων, χαλεπῶν τοὺς ἐκ πόθου, σοὶ προσιόντας πάντοτε πιστῶς, καὶ αἰτουμένους πρεσβείαν σου ἄμαχον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Σὲ πόθῳ ὑμνῶ, Πάτερ Βησσαρίων.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Σκοτίαν νοός μου τὴν χαλεπήν, ἀπέλασον Πάτερ, τῇ σῇ αἴγλῃ τῇ παμφαεῖ, ὡς ἂν μεγαλύνω τὴν σὴν μνήμην, καὶ ἀνυμνήσω τοὺς θείους ἀγῶνάς σου.

Ἐν νόσοις κατάκειμαι χαλεπαῖς, Πάτερ Βησσαρίων, σοὶ προστρέχω τῷ θαυμαστῷ, προστάτῃ καὶ ῥύστῃ μου κραυγάζων, ταῖς ἱκεσίαις σου δός μοι τὴν ἴασιν.

Πολλοὺς ὡς διέσωσας ἐκ δεινῶν, νόσων ἀνιάτων, συμφορῶν τε καὶ ἀναγκῶν, οὕτω καὶ ἡμᾶς τοὺς σὲ τιμῶντας, ὦ Βησσαρίων ἀεὶ περιφύλαττε.

*Θεοτοκίον.*

Φιλάνθρωπον Κύριον καὶ Θεόν, ἐκύησας Κόρη, ἀνορθώσαντα τὴν ἡμῶν, φύσιν ἐκ τοῦ Ἅδου· ὅθεν πάντες, χρεωστικῶς Σε ἁγνὴ μεγαλύνομεν.

*ᾨδὴ γʹ. Οὐρανίας ἁψῖδος.*

Ὁλικῶς ὑπετάγην ἐχθρῷ δολίῳ πανεύφημε, γεγονὼς λῃστῶν ἀκαθάρτων, σπήλαιον βέβηλον· διὸ προστρέχω τῇ σῇ, συμπαθεστάτῃ πρεσβείᾳ, ἵνα λάβω ἄφεσιν, τῶν ἐγκλημάτων μου.

Θεὸν Πάτερ δυσώπει κατοικτειρῆσαι τοὺς δούλους σου, ἔχεις γὰρ πολλὴν παῤῥησίαν, πρὸς Ὃν ἐδόξασας, τῇ ἰσαγγέλῳ σου, καὶ θαυμαστῇ πολιτείᾳ, Βησσαρίων ἔνδοξε, Ὁσίων καύχημα.

Ὡς ἀνέβλυσας ὕδωρ τῇ προσευχῇ σου πανόλβιε, οὕτω κἀμοὶ δίδου ἀξούων, ῥεῖθρα πρεσβείαις σου, ὡς ἂν τὴν ἔνθεον, τρίβον καλῶς διοδεύσας, μετανοίας τοὺς ἡδεῖς, καρποὺς τρυγήσαιμι.

*Θεοτοκίον.*

Ἵλεων τὸν Υἱόν Σου καὶ Σωτῆρα ἀπέργασαι, τῇ Σῇ μητρικῇ παῤῥησίᾳ, ἄχραντε Δέσποινα, εἰς Σὲ γὰρ

ἅπαντες, πίστει προστρέχομεν Κόρη, ὡς πηγὴν ἀκένωτον, ζωῆς καὶ χάριτος.

Διάσωσον, θαυματουργὲ Βησσαρίων θεόφρον, τοὺς προσιόντας σοι δούλους ‘κ θλίψεων, καὶ χαλεπῶν πειρασμῶν τοῦ βελίαρ.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Χριστοῦ τῷ φρικτῷ νῦν θρόνῳ παριστάμενος, σὺν θείοις χοροῖς Δικαίων Πάτερ Ὅσιε, ὑπὲρ ἡμῶν ἐκτενῶς καθικέτευε, ὡς ἂν εὕρωμεν ἔλεος ἅπαντες, ἐν τῇ ἡμέρᾳ τῇ φρικτῇ, τῆς ἐτάσεως ὦ παμμακάριστε.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὑπὲρ πάντων ἱκέτευε, Βησσαρίων Ὅσιε παναοίδιμε, τῶν τελούντων σου τὴν κοίμησιν, τὴν φωτοφανῆ καὶ πανσεβάσμιον.

Μύστης ἔνθεος γέγονας, τοῦ Θεοῦ ἀσκήσας ὡς ἄσαρκος, καὶ νεκρώσας τὰ κινήματα, τῆς σαρκὸς ἀγρύπνοις σου δεήσεσιν.

Νικηφόρος ἀνέδραμες, ἔνθα φῶς τὸ ἄδυτον πέλει Ὅσιε, Βησσαρίων ἱερώτατε, ἱκετεύων ὑπὲρ τῶν τιμώντων σε.

*Θεοτοκίον.*

Λεπρωθεῖσαν πανάχραντε, τὴν ψυχὴν ποικίλοις ἐν ἀτοπήμασι, καὶ τοῖς πάθεσι θεράπευσον, δραστικῷ φαρμάκῳ Σου ὢ Δέσποινα.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ὤφθης φαεινός, Πάτερ ἥλιος μακάριε, καταυγάζων τὰς καρδίας τῶν πιστῶν, Βησσαρίων τῶν Ἀγγέλων ἰσοστάσιε.

Πάθεσιν δεινοῖς, καθυπέκυψας ὁ ἄθλιος, δουλωθεὶς τῇ δυναστείᾳ τοῦ ἐχθροῦ, Βησσαρίων θαυμαστὲ σύ με διάσωσον.

Ἄσκησιν στεῤῥάν, ὡς διήνυσας μακάριε, ἀνεδείχθης θαυμασίων αὐτουργός, καὶ χαρίτων θεϊκῶν Πάτερ κειμήλιον.

*Θεοτοκίον.*

Ἄλλην ἀσφαλῆ, οὐ κεκτήμεθα βοήθειαν, προστασίαν καὶ θερμὴν καταφυγήν, μετὰ Θεὸν εἰ μὴ Σὲ Κόρη πανάμωμε.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Τὸν βίον, τῶν Ἀγγέλων ζηλώσας, ὥσπερ ἄσαρκος τὸ καῦμα καὶ ψύχος, καθυπέμεινας γνώμῃ γενναίᾳ, καὶ εἰς τὰ ἔμπροσθεν τὴν σὴν διάνοιαν, ἐκτείνας Πάτερ ἱερέ, εἰς οὐδὲν τὰ τῆς γῆς λογισάμενος.

Ἐν κόποις, ἀμετρήτοις καὶ πόνοις, προσευχαῖς καὶ ἐν νηστείαις θεόφρον, τὸν Χριστὸν ἐθεράπευσας ὅθεν, νῦν τὴν δόξαν κληροῦσαι τὴν ἄφθαρτον, παρέχων

χάριν δαψιλῆ, τοῖς τελοῦσι τὴν πάνσεπτον μνήμην σου.

Ῥεῖθρα, τοῦ ποταμοῦ τῷ σημείῳ, τοῦ Τιμίου Σταυροῦ Βησσαρίων, διεπεράσας ἀβρόχως ὥσπερ, Μωϋσῆς ὁ θεόπτης καὶ τὴν πικράν, γεῦσιν μετήλλαξας σαφῶς, τῶν ὑδάτων Χριστοῦ θείᾳ χάριτι.

*Θεοτοκίον.*

Ῥῦσαί με, τῆς ἀσβέστου γεέννης, ἐν ἡμέρᾳ τῇ ἐσχάτῃ Παρθένε, ὅτι κατάκριτος ὅλος ὑπάρχω, ἐκ τῶν ἀμέτρων κακῶν μου πανάμωμε, καὶ σῶσόν με ὡς ἀγαθή, καὶ εἰς θεῖον νυμφῶνα εἰσάγαγε.

Διάσωσον, θαυματουργὲ Βησσαρίων θεόφρον, τοὺς προσιόντας σοι δούλους ‘κ θλίψεων, καὶ χαλεπῶν πειρασμῶν τοῦ βελίαρ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.*

Τὴν σὴν πρεσβείαν στεῤῥὸν καταφύγιον, καὶ ὡς λιμένα κατέχοντες ἄκλυστον, ταύτῃ ἀεὶ ἐκ ψυχῆς καταφεύγομεν, Βησσαρίων Πατέρων ἀγλάϊσμα, καὶ ἐκλυτρούμεθα δεινῶν, πειρασμῶν πολυτρόπων τε καὶ θλίψεων.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

*Εὐαγγέλιον Ὁσιακόν.*

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ὅσιε θεόληπτε, θαυματουργὲ Βησσαρίων, ἀσκητῶν ἀγλάϊσμα, τῆς Αἰγύπτου βλάστημα ἱερώτατον, τῶν Ὁσίων σύσκηνε, Προφητῶν Μαρτύρων, Ἀποστόλων καὶ ἁπάντων τε, Δικαίων πρέσβευε, Χριστῷ τῷ Σωτῆρι ἑκάστοτε, ῥυσθῆναι πάσης θλίψεως, τοὺς εἰλικρινῶς σε γεραίροντας, ὀργῆς καὶ κινδύνου, παντοίας ἐνεστώσης ἀπειλῆς, ἵνα ἐν ὕμνοις δοξάζομεν, τὴν ἁγίαν μνήμην σου.

## *ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Βαρυνθεὶς τῇ κακίᾳ εἰς ἀπείρους αἰῶνας μέλλω κολάζεσθαι, καὶ κόπτεσθαι καὶ κλαίειν, ἀλλά με σῶσον Πάτερ, τῇ ἀγρύπνῳ πρεσβείᾳ σου, ἱνα σε πόθῳ ὑμνῶ, εἰς πάντας τοὺς αἰῶνας.

Ἡ ἁγία σου μνήμη ἁγιάζει ἡμᾶς Πάτερ Ὅσιε, καὶ χάριν καὶ εἰρήνην, παρέχει Βησσαρίων, τοῖς πιστῶς ἀνακράζουσιν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σωτηρίας τὴν τρίβον εὔθυνόν μοι τρισμάκαρ καὶ καταξίωσον, τὸν ἐλαφρὸν βαστάζειν, ζυγὸν Χριστοῦ Κυρίου, Βησσαρίων πανεύφημε, ἵνα τῆς θείας χαρᾶς, ἀξιωθῶ καὶ δόξης.

Θεοτοκίον.

Ἐκ ποικίλων κινδύνων ἐκλυτρούμενος Κόρη τῇ προστασίᾳ Σου, δοξάζω μεγαλύνω, Σὲ πάναγνε Παρθένε, καὶ ἐκ πόθου κραυγάζω Σοι· Χαῖρε πιστῶν ἡ ἐλπίς, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Στῆσον τὰ πάθη, ὥσπερ τὸν ἥλιον Πάτερ, τῇ εὐχῇ σου ἐκράτησας τὸ πάλαι, καὶ φωτὶ Κυρίου, τὸν νοῦν κατάλαμψόν μου.

Ἀνενδοιάστῳ, πόθῳ ψυχῆς σοὶ προστρέχω, Βησσαρίων θεράπον τοῦ Κυρίου, ἐξαιτῶν τὴν λύσιν, παθῶν τῶν ἀκαθάρτων.

Ῥέουσι ῥεῖθρα, θαυμάτων καὶ ἰαμάτων, ἐκ τῆς σῆς εἰκόνος Βησσαρίων· ὅθεν τὸν Σωτῆρα, Χριστὸν ὑπερυψοῦμεν.

Θεοτοκίον.

Τῶν ἀμετρήτων, πειρασμῶν τὰς ἐφόδους, καταπράϋνον ἀνύμφευτε Παρθένε, διδοῦσα Σὴν γαλήνην, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἱλάσθητι θεόφρον, τοὺς ἐξαιτουμένους, τὴν σὴν ταχεῖαν βοήθειαν Ὅσιε, καὶ τὸ συμφέρον ἑκάστῳ δίδου πρεσβείαις σου.

Ὡς ἔχων παῤῥησίαν, πρὸς τὸν πάντων Κτίστην, ἆρον τὰς χεῖράς σου Πάτερ καὶ αἴτησαι, τῶν πειρασμῶν Βησσαρίων τὴν ἀπολύτρωσιν.

Νίκης ἐδέξω στέφος, παρὰ τοῦ Δεσπότου, καὶ ἀϊδίων γερῶν τὴν ἀντίδοσιν, ὦ Βησσαρίων Ὁσίων κλεινὸν ἀγλάϊσμα.

*Θεοτοκίον.*

Ἠνέῳκται ἡ πύλη, θείου Παραδείσου, διὰ τοῦ Σοῦ ξένου τόκου πανύμνητε, Θεὸς γὰρ Λόγος σαρκοῦται, Ὃν μεγαλύνομεν.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις τῶν Ὁσίων κλέος λαμπρόν, καὶ τῆς Ἐκκλησίας ὁ ἀκοίμητος ὀφθαλμός, χαίροις ὁ προστάτης, τῶν σὲ πιστῶς τιμώντων, θεόφρον Βησσαρίων, ἀξιοθαύμαστε.

Τῆς Αἰγύπτου γόνον τὸν ἱερόν, ἀσκητῶν τὴν δόξαν, μοναζόντων ὑπογραμμόν, τὸ τοῦ Παρακλήτου, κειμήλιον καὶ σκεῦος, τὸν θεῖον Βησσαρίωνα, εὐφημήσωμεν.

Θαύμασι διέλαμψας ἀληθῶς, ὡς Θεοῦ θεράπων, Βησσαρίων θαυματουργέ, πάντας καταυγάσας, τῷ βίῳ σου θεόφρον· διὸ νῦν τὴν σὴν μνήμην, ὕμνοις γεραίρομεν.

Ὥσπερ φοῖνιξ Πάτερ ἐν ταῖς αὐλαῖς, τοῦ Θεοῦ ηὐξήθης, ἐγκρατείας τοῖς ποταμοῖς, ποτισθεὶς ἐνθέως· διὸ καὶ ἐδοξάσθης, παρὰ Χριστοῦ πλουσίως, ὦ παμμακάριστε.

Τοὺς πιστῶς αἰτοῦντας τὴν σὴν θερμήν, ἀῤῥωγὴν θεόφρον, Βησσαρίων Πάτερ σοφέ, λύτρωσαι κινδύνων, καὶ πάσης ἐπηρείας, ἐχθροῦ τοῦ πανωλέθρου, ταῖς ἱκεσίαις σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες είς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Κλῖμαξ, ἀρετῶν περιφανής, Πάτερ ἀνεδείχθης ἀσκήσας, καθάπερ ἄσαρκος, πάντας θείοις τρόποις σου, ἀνάγων Ὅσιε, πρὸς τὴν ἄνω λαμπρότητα, καὶ ἄληκτον δόξαν, ἧς νῦν ἐμφορούμενος, ἀπαύστως πρέσβευε, ταύτης καὶ ἡμᾶς ἀπολαῦσαι, μετὰ τῶν Δικαίων ἁπάντων, Βησσαρίων τῶν Ἀγγέλων σύσκηνε.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι' εὐχῶν.*